ἔμπροσθεν ἡμῖν, ἔπι τὸ μὲν κατὰ τὸν ♈ καὶ ♌. καὶ ♐ βορρολιβυκόν τέ ἐστι, καὶ οἰκοδεσποτεῖται μὲν προηγουμένως ὑπὸ τοῦ ♃ διὰ τὸ βόρειον, συνοικοδεσποτεῖται δὲ ὑπὸ τοῦ ♂ διὰ τὸ λιβυκόν. τὸ δὲ κατὰ τὸν ♉. καὶ ♍ καὶ ♑, νοταπηλιωτικόν τέ ἐστι καὶ οἰκοδεσποτεῖται πάλιν προηγουμένως μὲν ὑπὸ τῆς ♀ διὰ τὸ νότιον, συνοικοδεσποτεῖται δὲ ὑπὸ τοῦ ♄ διὰ τὸ ἀπηλιωτικόν. τὸ δὲ κατὰ τῶν ♊ καὶ ♎ καὶ ♒ βορραπηλιωτικόν τέ ἐστι, καὶ οἰκοδεσποτεῖται προηγουμένως μὲν ὑπὸ τοῦ ♄ διὰ τὸ ἀπηλιωτικόν, συνοικοδεσποτεῖται δὲ ὑπὸ τοῦ ♃, διὰ τὸ βόρειον. τὸ δὲ κατὰ τὸν ♋ ♏ καὶ τῶν ♓ νοτολιβυκόν τέ ἐστι, καὶ οἰκοδεσποτεῖται προηγουμένως μὲν ὑπὸ τοῦ ♂ διὰ τὸ λιβυκόν, συνοικοδεσποτεῖται δὲ ὑπὸ τοῦ * ♀, διὰ τὸ νότιον. τούτων δὴ οὕτως ἐχόντων: διαιρουμένης τε τῆς καθ' ἡμᾶς οἰκουμένης, εἰς τέσσαρα τεταρτημόρια, τοῖς τριγώνοις ἰσάριθμα, κατὰ μὲν πλάτος ὑπό τε τῆς καθ' ἡμᾶς θαλάσσης τῆς ἀπὸ τοῦ ἡρακλείου πορθμοῦ μέχρι τοῦ ἰσσικοῦ κόλπου καὶ τῆς ἐφεξῆς πρὸς ἀνατολὰς ὀρεινῆς ῥαχέας, ὑφ' ὧν χωρίζεται τό, τε βόρειον αὐτῆς καὶ τὸ νότιον μέρος, κατὰ δὲ μῆκος ὑπὸ τοῦ ἀραβικοῦ κόλπου διὰ τοῦ αἰγαίου πελάγους καὶ πόντου καὶ μαιώτιδος λίμνης, ὑφ' ὧν χωρίζεται τό, τε ἀπηλιωτικὸν καὶ τὸ λιβυκὸν μέρος, γίνεται τεταρτημόρια τέσσαρα, σύμφωνα τῇ θέσει τῶν △. ἓν μὲν πρὸς βορρᾶν καὶ λίβα τῆς ὅλης οἰκουμένης κείμενον, τὸ κατὰ τὴν κελτογαλατίαν, ὃ δὴ κοινῶς εὐρώπην καλοῦμεν. τούτῳ δὲ ἀντικείμενον τὸ πρὸς τὸν νοταπηλιώτην, τὸ κατὰ τὴν ἑῴαν αἰθιοπίαν, ὃ δὴ τῆς μεγάλης ἀσίας νότιον μέρος ἂν καλοῖτο. καὶ πάλιν τὸ μὲν πρὸς βορραπηλιώτην τῆς ὅλης οἰκουμένης τὸ κατὰ τὴν σκυθίαν, ὃ δὴ καὶ αὐτὸ βόρειον μέρος τῆς μεγάλης ἀσίας γίνεται. τὸ δὲ ἀντικείμενον τούτῳ καὶ πρὸς λιβόνοτον ἄνεμον, τὸ κατὰ τὴν ἑσπέριον αἰθιοπίαν, ὃ δὴ κοινῶς καλοῦμεν λιβύην. πάλιν δὲ καὶ ἑκάστου τῶν προκειμένων τεταρτημορίων, τὰ πρὸς τὸ μέσον μᾶλλον ἐσχηματισμένα τῆς ὅλης οἰκουμένης τὴν ἐναντίαν λαμβάνει φύσιν πρὸς αὐτὸ τὸ περιέχον τεταρτημόριον, ἤπερ ἐκεῖνο πρὸς ὅλην τὴν οἰκουμένην, τοῦ τε κατὰ τὴν εὐρώπην πρὸς βορρολίβα κειμένου τῆς ὅλης οἰκουμένης, τὰ περὶ τὸ μέσον αὐτοῦ καὶ ἀντιγώνια πρὸς νοταπηλιώτην τοῦ αὐτοῦ τεταρτημορίου τὴν θέσιν ἔχοντα φαίνεται. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ὡς ἐκ τούτων ἕκαστον τῶν τεταρτημορίων, δυσὶ τοῖς ἀντικειμένοις τριγώνοις συνοικειοῦσθαι, τῶν μὲν ἄλλων μερῶν, πρὸς τὴν καθόλου πρόσνευσιν ἐφαρμοζομένων, τῶν δὲ περὶ τὸ μέσον πρὸς τὴν κατ' αὐτὸ τὸ μέρος

ἀντικει-